(Cμ.) ...]μεν[
..]εςτιν.
(Χα.) ἐμὲ.[
.]εις cὲ μὲν λαβόντα ταύτη[ν
αὐτὸν δ' ἐκεῖνον τὴν ἐμὴν.[
ὑμᾶc καταλείψειν τῆc ἐμαυτοῦ κυρίουc.
ἀπαλλαγῆναι τὴν ταχίcτην τοῦ βίου
γένοιτό μοι πρὶν ἰδεῖν ἃ μήποτ' ἤλπιcα.

ΧΑΙΡΕΑC
εἶέν· τὸ μὲν cὸν πρῶτον, ὦ Κλεόcτρατε,
ἴcωc ἐλεῆcαι καὶ δακρῦcαι κατὰ λόγον
πάθοc ἐcτί, δεύτερον δὲ τοὐμόν· οὐδὲ εἷc
τούτων γὰρ οὕτωc ἠτύχηκεν ὡc ἐγώ.
ἔρωτι περιπεcὼν γὰρ οὐκ αὐθαιρέτωι
τῆc cῆc ἀδελφῆc, φίλτατ' ἀνθρώπων ἐμοί,
οὐθὲν ποήcαc προπετὲc οὐδ' ἀνάξιον
οὐδ' ἄδικον ἐδεήθην ἐμαυτῶι κατὰ νόμουc
cυνοικίcαι τὸν θεῖον ὧι cὺ κατέλιπεc
καὶ τὴν ἐμὴν μητέρα παρ' ἧι παιδεύεται.
ᾤμην δὲ μακάριόc τιc εἶναι τῶι βίωι,
ἐλθεῖν δ' ἐπ' αὐτὸ τὸ πέραc οἰηθεὶc cφόδρα
καὶ προcδοκήcαc οὐδ' ἰδεῖν δυνήcομαι
τὸ λοιπόν· ἕτερον κύριον δ' αὐτῆc ποεῖ
ὁ νόμοc ὁ τοὐμὸν οὐδαμοῦ κρίνων ἔτι.

Δα. Χαιρέcτρατ', οὐκ ὀρθῶc ποεῖc· ἀνίcταcο·
οὐκ ἔcτ' ἀθυμεῖν οὐδὲ κεῖcθαι. Χαιρέα,
ἐλθὼν παραμυθοῦ· μὴ 'πίτρεπε· τὰ πράγματα
ἡμῖν ἅπαcίν ἐcτιν ἐν τούτωι cχεδόν.
μᾶλλον δ' ἄνοιγε τὰc θύραc, φανερὸν πόει
cαυτόν· προήcει τοὺc φίλουc, Χαιρέcτρατε,